Κλέπτων τὸν οἶνον. Δημ. εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;

Νι. Ἐπίπαστα λείξας δημιόπραθ᾽ ὁ βάσκανος,

Ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις, ὕπτιος.

Δη. Ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολύν.

Νι. Σπονδὴν λαβὲ δὴ, καὶ σπεῖσον ἀγαθοῦ δαίμονος,

Ἕλχ᾽, ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.

Δη. Ὦ δαῖμον ἀγαθὲ, σὸν τὸ βούλευμ᾽, οὐκ ἐμόν.

Νι. Εἴπ᾽, ἀντιβολῶ, τί ἐστί; Δη. τοὺς χρησμοὺς ταχὺ

Κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,

Ἕως καθεύδει. Νι. ταῦτ᾽ ἀτὰρ τοῦ δαίμονος;

Δέδοιχ᾽ ὅπως μὴ τεύξομαι κακοδαίμονος.

Δη. Φέρε νυν ἐγὼ ᾽μαυτῷ προσαγάγω τὸν χοᾶ.

Τὸν νοῦν ἵν᾽ ἄρδω, καὶ λέγω τι δεξιόν.

Νι. Ὡς μεγάλ᾽ ὁ Παφλαγὼν πέρδεται, καὶ ῥέγκεται.

Ὥστ᾽ ἔλαθον αὐτὸν, τὸν ἱερὸν χρησμὸν λαβὼν,

Ὅνπερ μάλιστ᾽ ἐφύλαττεν. Δη. ὦ σοφώτατε

Φέρ᾽ αὐτὸν, ἵν᾽ ἀναγνῶ. σὺ δ᾽ ἔγχεον πιεῖν

Ἀνύσας τι. φέρ᾽, ἴδω τί ἄρ᾽ ἔνεστιν αὐτόθι.

Ὦ λόγια, δός σύ μοι τὸ ποτήριον ταχύ.

Νι. Ἰδοὺ, τί φησιν ὁ χρησμός; Δι. ἑτέραν ἔγχεον.

Νι. Ἐν τοῖς λογίοις ἔνεστιν, ἑτέραν ἔγχεον;

Δη. Ὦ Βάκι. Νι. τί ἐστι; Δη. δὸς τὸ ποτήριον ταχύ.

A *Deprehensus in furto.* DE. *quid agit Paphlago? cedò.*

*NI. Vbi præstigiator publicata cibaria*

*Liguriuit, stertit supinus in corio.*

*DE. Agè nunc meracum cum strepitu infundas mihi.*

*NI. Cape hoc libamen, & liba genio bono,*

*Trahe, trahe quæso, libamen Pramnij Dei.*

B *DE. O bone Geni, tuum est consilium hoc, non meum.*

*NI. Dic obsecro: quid est? DE. i, aufer Paphlagonis*

*Oracula furtim, dum intus dormiat.* NI. *hæccine*

*Vult Genius? vereor ne Genio potiar malo.*

*DE. Age, nunc ego mihi ipsi admouebo congium,*

C *Vt irrigem mentem, & dicam aliquid vtile.*

*NI. Quàm valde pedit & stertit nequam iste Paphlago?*

*Nam non sensit, cùm surriperem ipsi oracula:*

*Quæ tamen asseruabat plurimum. DE. amice optime*

*Cedò hoc oraculum, vt legam: tu, quod bibam,*

*Infunde: propera: sine videam quid insit hic.*

D *O quæ oracula? da poculum mihi ocyus.*

*NI. En tibi, quid ait oraculum? DE. infunde alterum.*

*NI. Oraculóne inscriptum est hoc, infunde alterum?*

*DE. O Baci. NI. quid est? DE. da poculum mihi quam celerrimè.*

Σχόλια. Ἐπίπαστα λείξας.] τὰ ἐπιπαστόμενα πεμμάτια· ἔτνει ἄλευρα. ἔτνος δὲ, τὴν ἀθάραν ἔλεγον. καὶ τὸ πίσινον ἕψημα. τὰ δὲ ἄλφιτα δημόσια πιπράσκεται. ἔθος δὲ εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἁλμυρά. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα. Δημιόπραθ᾽ ὁ βάσκανος.] τὰ δημόσια πιπρασκόμενα. ἐκ δημεύσεως καὶ τῶν δημευομένων διὰ Κλέωνα θυσιῶν. ἢ δημόπρατα ἔμιξεν ὡς ἐκ δημοσίου πράγματα αὐτοῦ κλέψαντος. ἄλλως. τὰ τὸν δῆμον ἐξωνούμενα. τῷ γὰρ λέγειν τῷ δήμῳ κεχαρισμένα, ὠνεῖτο τοῖς τοιούτοις λόγοις τὴν παρ᾽ αὐτοῦ εὔνοιαν. Ῥέγκει.] διὰ τῆς ῥινός. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας. ἢ τοὺς ὑπτίως ἀνακειμένους. ὥσπερ καὶ αὐτὸς ἐδήλωσεν ἐν ταῖς ἑξῆς λέξεσιν, εἰπών. ἐν ταῖς βύρσαις ὕπτιος, ῥέγκει οὖν ἀντὶ τοῦ ποιὸν ἦχον ἀποτελεῖ τῇ ῥινί. Ἐγκάναξον.] ἔγχεε. ἐγκένωσον. λέγεται δὲ, ἐπὶ τῶν ἀθρόως πινόντων. οἱ δὲ ἐπὶ θορύβου τάττουσι τοῦτο παρὰ τὴν καναχήν. ἤγουν μετὰ ψόφου ἔγχεον. Τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.] τὴν τοῦ πραΰνοντος. ἤτοι ἀπὸ γῆς Πραμνίας ἀμπέλου. ἢ ἀπὸ τοῦ πραΰνειν τὸ μένος ἢ διὰ τὸ πολυχρόνιον παραμένειν. ἢ ἐν Πραμνίᾳ πέτρᾳ γινομένου, ἢ πρὸς τὴν Θρᾴκην. δέον δὲ εἰπεῖν τὴν τοῦ δαίμονος τοῦ ἀγαθοῦ, εἶπε Πραμνίου. ἐπεὶ ὁ Πράμνιος οἶνος πολυτίμητός ἐστιν. ἢ παρὰ τὸ ἐμμένειν καὶ μὴ ἐξιστάναι τὸν πίνοντα.

Βisetvs. Τοῦ Πραμνίου.] Ἀθηναῖος ἐν τῷ α. τῶν δειπνοσοφιστῶν. Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὔτε γλυ-

E κύς, οὔτε παχύς, ἀλλ᾽ αὐστηρός, καὶ σκληρός, καὶ δύναμιν ἔχων διαφέρουσαν, οἵῳ Ἀριστοφάνης, οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων,

Τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς
Ἥδεσθαι σκληροῖς, καὶ ἀστεμφέσιν, οὔτε
Πραμνίοις σκληροῖσιν οἴνοις, συνάγουσι
Τὰς ὀφρῦς τε, καὶ τὴν κοιλίαν, ἀλλ᾽
Ἀνθοσμίᾳ, καὶ πέπονι νεκταροσταγεῖ.

Εἶναι γὰρ ἐν Ἰκάρῳ φησὶ Σῆμος Πράμνιον πέτραν, καὶ παρ᾽

F αὐτῇ ὄρος μέγα, ἀφ᾽ οὗ τὸν Πράμνιον οἶνον, ὃν καὶ φαρμακίτην τινὰς καλεῖν.

Σχόλια. Ὦ δαῖμον] ὡς ἐμπνευσθεὶς καὶ πεπωκὼς τοῦτό φησι. Δέδοιχ᾽ ὅπως.] δέδοικά φησι μὴ διὰ τὸν δαίμονα τὸν ἀγαθὸν, τύχω τοῦ κακοδαίμονος. Φέρε νῦν ἐγὼ ᾽μαυτῷ.] μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ᾽ ἑτέρου, ἀδεέστερον πίνει, ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς. Ἄρδω.] ποτίσω. τὸν δὲ τρόπον ἔλαβεν ἀπὸ τῶν φυτῶν. Πέρδεται.] ὁμοιοκατάληκτον εἶπε τῷ ῥέγκεται. οὐ γάρ ἐστι δόκιμον οὕτω λέγειν. ἀνύσας δὲ διαπραξάμενος σπουδάσας. Τὸν ἱερὸν χρησμόν] δύο χρησμῶν δοθέντων τῷ Κλέωνι. ὡς φυλάσσοντος δὲ τοῦ-

G τον μάλιστα ὑπὲρ τοῦ μὴ ἔκπυστον αὐτὸν γενέσθαι. τοῦτο οὖν λέγει. ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. Φέρ᾽ ἴδω.] καταμάθω. κατανοήσω καὶ ἐπισκέψωμαι, ποτε γέγραπται, ἢ τί ποτε ὁ χρησμὸς λέγει. αὐτόθι δὲ, τουτέστιν ἐν τῷ βιβλίῳ. ἢ ἐν τῷ χρησμῷ. Ὦ λόγια.] μαντεύματα. θαυμάζει δὲ τὸν χρησμὸν, ἀναγνούς. ἰδοὺ δὲ, ἀντὶ τοῦ λάμβανε, κράτει. Ὦ Βάκι.] τρεῖς Βάκιδες ἐγένοντο. πρῶτος μὲν Ἀττικὸς καὶ μάντις. ὁ δὲ Λοκρός. ὁ δὲ Βοιωτός.

Νι. Πολ-